eul_wid: rye-an

*Θεμίστιος ὁ Εὐφραδής* · Themistius the Philosopher

# On the Names of the King and the Consul

*〈Περὶ τῶν ὀνομάτων τοῦ βασιλέως καὶ τοῦ ὑπάτου〉*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Λόγος* Oration
**Affiliation:** Eclectic

t 1 〈ΠΕΡΙ ΤΩΝ ΟΝΟΜΑΤΩΝ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΑΙ ΤΟΥ ΥΠΑΤΟΥ〉 Ἀριστόξενος ὁ μουσικὸς θηλυνομένην ἤδη τὴν μουσικὴν ἐπειρᾶτο ἀναρρωννύναι, αὐτός τε ἀγαπῶν τὰ ἀνδρικώτερα τῶν κρουμάτων καὶ τοὺς μαθητὰς ἐπικελεύων τοῦ μαλθακοῦ ἀφεμένους φιλεργεῖν τὸ ἀρρενωπὸν ἐν τοῖς μέλεσιν.

364 b ἐπειδὴ οὖν τις ἤρετο αὐτὸν τῶν συνήθων, τί δ' ἄν μοι γένοιτο πλέον ὑπεριδόντι μὲν τῆς νέας καὶ ἐπιτερποῦς ἀοιδῆς, τὴν δὲ παλαιὰν διαπονήσαντι; ᾆσῃ, φησί, σπανιώτερος ἐν τοῖς θεάτροις· ὡς οὐχ οἷόν τε ὂν πλήθει τε ἅμα ἀρεστὸν εἶναι καὶ ἀρχαῖον τὴν ἐπιστήμην.

364 c Ἀριστόξενος μὲν οὖν, καὶ ταῦτα ἐπιτήδευσιν μετιὼν δημοτικήν, παρ' οὐδὲν ἐποιεῖτο δήμου καὶ ὄχλου ὑπεροψίαν, καὶ εἰ μὴ ὑπάρχοι ἅμα τοῖς τε νόμοις τῆς τέχνης ἐμμένειν καὶ τοῖς πολλοῖς ᾄδειν κεχαρισμένα, τὴν τέχνην εἵλετο ἀντὶ τῆς φιλανθρωπίας. ἐγὼ δὲ ἀνθ' ὅτου προοίμιον ἐποιησάμην τὴν Ἀριστοξένου ἀπόκρισιν; ἐνεθυμήθην κατ' ἐμαυτόν, ὦ φίλοι Ἕλληνες, ἐξ ὅτου πρὸς ὑμᾶς ἐπὶ συνουσίᾳ λόγων δευρὶ ἀφικόμην, καὶ ὑπώπτευον ὅτι με ἐρήσεσθε τὴν αἰτίαν, τυχὸν μὲν ἅπαντες, τυχὸν δὲ καὶ οὐδείς· ἐμοὶ δὲ ἀποκριτέον ὅτι ἐγώ, φίλοι ἑταῖροι, φιλῶ μὲν ὑμᾶς καὶ περὶ πλείστου ποιοῦμαι, καὶ ἥδιστα ἂν καὶ ὅσαι ἡμέραι διαλεγοίμην ἀθρόως ὑμῖν συγκαθημένοις· ἣν μέντοι ἀγαπῶ ἐπιστήμην, οὐ πάνυ ἀσμενίζει τὰ θέατρα· οὐ γὰρ θέλει εἶναι λίαν ἡδεῖα καὶ πρὸς ἡδονὴν λέγειν ἅττα ἂν λέγῃ, ὥστε καὶ τιτρώσκει ἐνίοτε τοὺς ἀκροωμένους καὶ ὀδυνᾷ καὶ ἀποπέμπει κατηφεστέρους ποιήσασα ἐκ τῆς συνουσίας.

364 d ὅταν γὰρ ἀφίκηται μέν τις ἐπὶ τὸν σύλλογον ὑψηλόφρων τε καὶ γεγανωμένος, ἐπειδὴ πολλὰς μὲν κέκτηται οἰκίας, πολλοὺς δὲ ἀγρούς, πολλὰς δὲ ἀγέλας οὐ μόνον προβάτων καὶ ἵππων, ἀλλὰ καὶ ἀνθρώπων, σιτεῖται δὲ ἐκ τῆς γῆς καὶ τῆς θαλάττης καὶ τοῦ ἀέρος ἀγείρων τὴν εὐπάθειαν, ἡ πόλις δὲ αὐτὴ ἡ βασιλεύουσα περιβλέπῃ αὐτὸν ἐν ταῖς ἀγυιαῖς καὶ ἐπικροτῇ φανέντι καὶ ἐπιβοᾷ ἄλλος ἄλλοθεν εὐδαίμονα καὶ ὄλβιον καὶ μακάριον, ὅταν ταῦτα ὑπὸ τῶν πολλῶν πεπεισμένος ἀφίκηται ἐπὶ τὸν σύλλογον, λαβοῦσα δ' αὐτὸν ἡ φιλοσοφία ὑπὸ τῶν λόγων μεταδιδάξῃ οὐ χαλεπῶς, εἰ μὴ παντάπασιν εἴη διεφθαρμένος, δῆλον ὅτι ἐξαπατῶσιν αὐτὸν οἱ ἄνθρωποι αὐτοὶ πρότερον ἐξηπατημένοι.

365 b οὐ γὰρ ἐν ἀργύρῳ τὸ εὔδαιμον καὶ μακάριον οὐδὲ ἐν ποτοῖς καὶ σιτίοις, ὧν τὰ ταμιεῖα ἐμπεπλησμένα καὶ βεβυσμένους τοὺς θησαυροὺς πολλοὶ κεκτημένοι οἰμώζουσι μᾶλλον τῶν ἐν ταῖς ὁδοῖς ἐρριμμένων. ἢ οὐκ ἀκούετε τοῦ Μενέλεω τοῦ βασιλέως τῆς Σπάρτης, ᾧ χρυσοῖ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦσαν οἱ τοῖχοι, χρυσοῦς δὲ ἐπὶ τῶν τοίχων ὁ ὄροφος, ἠλέκτρου δὲ ἔλαμπεν ἡ αὐλή, ὁ δὲ ἄργυρος τὸ ἀτιμότατον ἦν τῶν κτημάτων; οὐκ ἀκούετε ἐκείνου ὀδυρομένου, ὡς οὔτι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω οὐδ’ ἐπιτερπόμενος; καὶ τί πλέον ἐπιζητεῖς, ὦ μακάριε, οἰκῶν μὲν χρυσῆν οἰκίαν, συνοικῶν δὲ τῇ καλλίστῃ τῶν γυναικῶν, γαμβρὸς δὲ τοῦ Διὸς νενομισμένος, ἄρχων δὲ τῆς μεγάλης Λακεδαίμονος; τῷ γὰρ ὄντι, ὁπόσοις ἡ τύχη παραγίνεται, ἄνευ τῆς τέχνης οὐκ ἔχει τοσαύτη παραγίνεσθαι ὥστε μὴ ἐπιδεὴς νομισθῆναι.

365 d οὐκ ἄρα ἐν κτήσει ἀμέτρῳ, ἀλλὰ ψυχῇ ἐμμέτρῳ τὸ ὄλβιον εἶναι καὶ ἐν τῷ πεπαιδεῦσθαι παιδείαν, ἧς τοῦτο ἔργον, τὰ τῆς ψυχῆς ἀγαθὰ τοῦ κεκτημένου ποιῆσαι· ὅσῳ γὰρ τὰ ὄργανα σφαλερώτερα, τοσούτῳ ἀκριβεστέρας δεῖ ἐπιστήμης. Ταῦτ’ οὖν ὅταν λέγῃ φιλοσοφία καὶ ἀφαιρῆται ἀνθρώπου ἣν πάνυ ᾤετο ἔχειν εὐδαιμονίαν, καὶ τοὔνομα αὐτὸ τοῦτο πρὸς τί ἐπισκοπῇ καὶ ἐξετάζῃ, ὡς παρὰ τὸ εὖ τὸν δαίμονα ἔχειν, ὅ ἐστι τὴν ψυχήν, ἢ παρὰ τὴν δαημοσύνην καὶ τὴν ἐπιστήμην, ἆρα οὐκ ἀνιῶμεν εὖ μάλα αὐτὸν ἐκεῖνον, ἅμα δὲ οὐδέν τι μεῖον καὶ τοὺς τοὔνομα αὐτῷ δωρουμένους; καὶ καθέζονται ἀγανακτοῦντες καὶ δυσχερῶς ἀκροώμενοι, εἰ μὴ ἐξέσται αὐτοῖς χαρίζεσθαι τὰ ῥήματα ἐπ’ ἐξουσίας, ἀλλὰ ἀφαιρεῖσθαί τις αὐτοὺς ἐπιχειρήσει ταύτης τῆς ἀδείας, καὶ ταῦτα εἷς ὢν πολλοὺς καὶ ἰσχνὸς τὴν φωνήν, ἂν οὕτω τύχῃ, μέγα κεκραγότας· καὶ ἀνέχονται ἀναπτύσσοντος καὶ ἀνακαθαίροντος τὰς φωνὰς καὶ ἐξηγουμένου ἕκαστον ὄνομα, ὥσπερ οἱ γενεαλόγοι, ὅθεν μὲν αὐτῷ ἡ γένεσις ἡ ἀνέκαθεν καὶ πρὸς ἥν δή τινα αἰτίαν ὑπὸ τῶν πάλαι πατέρων καὶ γεννητόρων ξυνεζύγη ἐπὶ τῷδε τῷ πράγματι, ὅπως δὲ ὕστερον ὑπὸ τοῦ χρόνου μετερρύη ἐπ’ ἄλλ’ ἄττα οὐδὲν ἐοικότα.

366 b Ἵν’ οὖν μὴ καὶ ὑμεῖς τὰ αὐτὰ ὑπομένητε καὶ ἀνιῴην ἐγὼ συνεχῶς ἄνδρας φίλους τε καὶ συνηκόους οὐδὲν δεόμενος, οἰκουρῶ τὰ πολλὰ ἔνδον καὶ ἐμαυτῷ, φασί, καὶ ταῖς Μούσαις ᾄδω καὶ ἐργάζομαι τὴν μουσικήν.

366 c νεανίσκοι δὲ οὗτοι ὁποσοιοῦν ἀποχρώντως μοι καὶ ἱκανῶς ἡσυχῇ ὑπακούοντες ἀντὶ μυρίων ἐξαλλομένων καὶ ἐκβοώντων. Μὴ θαυμάζετε οὖν, εἰ Πλάτωνι συνὼν τῷ θεσπεσίῳ καὶ Ἀριστοτέλει συνδιαιτώμενος, Ὁμήρου δὲ ἔχων δυσαπαλλάκτως, οὐ θαμίζω ὑμῖν ἐπὶ τὸ βῆμα καὶ τοὺς συλλόγους. ἀνάγκη γὰρ ἢ ἐκείνοις προσέχοντα ἀφαιρεῖσθαι ὑμῶν τὴν ἐπὶ τοῖς ῥήμασιν ἐξουσίαν, ἢ συγχωροῦντα ἀνεξετάστους ὑμῖν τὰς φωνάς, παραλύειν τὰ τῶν πατέρων νομοθετήματα.

366 d ἐπεὶ καὶ νῦν ἐὰν μὴ πρὸ τοῦ λόγου ὁμολογήσητε μὴ χαλεπανεῖν μηδὲ θορυβήσειν, εἰ ἀποπειρῴμην τινῶν ὀνομάτων λίαν περιβοήτων καὶ εὐδοκίμων, καὶ δεικνύοιμι αὐτῶν τὴν γνώμην, καθ’ ἥντινα ἐξ ἀρχῆς τῇ διαλέκτῳ ἐπεφοίτησε τῇ Ἑλληνίδι, ἔπειθ’ ὅτι οἱ πολλοὶ αὐτὰ τῶν κτησαμένων ψευδῶς καὶ πρὸς οὐδένα λόγον περιηνέγκαντο· ἐὰν μὴ συμβῆτέ μοι ἀτρέμα τοῦ λόγου ἀνέξεσθαι, ἕως ἂν ξυμπεράνηται ὃ προαιρεῖται, ἄπειμι ὑμᾶς καταλιπὼν τοσούτους ἀθρόους, οὐδὲν φροντίσας ὅτι ἥκετε ὑπ’ ἐμοῦ παρακεκλημένοι.

367 a ἥκετε γὰρ δήπου ὧν ἐγὼ βούλομαι ἀκουσόμενοι, οὐχ ἃ ὑμεῖς ἐπιζητεῖτε. οὐδὲ γὰρ τοὺς ἑστιάτορας ἀπαναγκάζουσιν οἱ δεξιώτεροι τῶν δαιτυμόνων ἄλλ’ ἄττα παραφέρειν ἐπὶ τὴν θοίνην ἢ ὅσα ἂν εὐτρεπίσωνται. τί οὖν φατε; καρτερήσετε; ἢ πῶς ποιῶμεν; ἀκούετε δὴ μικρὸν ἄνωθεν· ἴσως γὰρ καὶ ῥᾴους ὑμᾶς ποιήσειε τὸ προαύλιον τοῦ λόγου. Τὰ ὀνόματα τοῖς ἀνθρώποις ταὐτὸν ὑπομένει πολλάκις ὅπερ καὶ τὰ νομίσματα, καὶ οὐ δύνανται ἴσον ἀεὶ τὸν ἅπαντα χρόνον οὐδὲ ὁπηλίκον τὴν ἀρχὴν ἐδυνήθη, ὥσπερ δὴ κἀκεῖνα τὰ πρώην, ἃ ἔναγχος ἐξελήλαται τῆς ἀγορᾶς.

367 b ἢ οὐ μέμνησθε ὡς αὐτίκα μὲν ἡνίκα τὸ πρῶτον ἐξεφοίτησε τῶν χαλκοτύπων, σεμνόν τι χρῆμα ἦν καὶ μεγάλη ἡ δύναμις, καὶ πολλὰ ἂν ὀλίγου ἐπρίω; προϊὸν δέ, καὶ ταῦτα ἐν οὐ πολλῷ χρόνῳ οὐδ’ ἰσαρίθμως, οὕτως ἀχρείως εἰς τὰ πωλητήρια ἀφικνεῖται. τοιοῦτον δή τι πέπονθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄντικρυς καὶ τὰ περικλεέστατα καὶ περιβοητότατα τῶν ὀνομάτων ὁ βασιλεὺς καὶ ὁ ὕπατος, τοῦτο δὴ τὸ ἀγαπητὸν ὅσα ἔτη ἡ διπλῆ τοῦ ἐνιαυτοῦ ἐπωνυμία.

367 c καὶ ταῦτα προχειρισάμενος ὑμῖν ἥκει ὁ λόγος ἐκκαλύψαι τε καὶ ἑρμηνεῦσαι, ἐφ’ ὅτου μόγις ἀνθρώπου ξυνέλθοι ἀληθινῶς καὶ ἄνευ θωπείας, καὶ ὅτι τούτῳ ἐντυχεῖν σπανιώτερον τῷ ἀνθρώπῳ ἢ τῷ φοίνικι τῷ ὀρνέῳ, ὃ λέγει Ἡρόδοτος ὁ μυθογράφος δι’ ἐτῶν πεντακοσίων φαίνεσθαι Αἰγυπτίοις περὶ τὸν νεὼν ****

Eulogikon public reading copy · View original HTML at eulogikon.org